*ὥσπερ ἐγὼ νῦν οἶδ᾽ ἐπὶ σοί. σὺ δὲ ταῦτα φύλαξαι,*
*μηδέ σε νικήσηι †παιδαΐδη† κακότης.*

*Οὐκ ἔλαθες κλέψας, ὦ παῖ· καὶ γάρ σε διῶμμαι·*
*τούτοισ᾽, οἷσπερ νῦν ἄρθμιος ἠδὲ φίλος*
*ἔπλευ — ἐμὴν δὲ μεθῆκας ἀτίμητον φιλότητα —*
*οὐ μὲν δὴ τούτοις γ᾽ ἦσθα φίλος πρότερον.*
*ἀλλ᾽ ἐγὼ ἐκ πάντων σ᾽ ἐδόκουν σήσεσθαι ἑταῖρον*
*πιστόν· καὶ δὴ νῦν ἄλλον ἔχοισθα φίλον.*
*ἀλλ᾽ ὁ μὲν εὖ ἕρδων κεῖμαι· σὲ δὲ μήτις ἁπάντων*
*ἀνθρώπων ἐσορῶν †παιδαφιλειν† ἐθέλοι.*

*Ὤιμοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,* 1318 a
*τοῖσι φίλοις δὲ πόνος δεινὰ παθὼν γενόμην.* b

*Ὦ παῖ, ἐπεί τοι δῶκε θεὰ χάριν ἱμερόεσσαν*
*Κύπρις, σὸν δ᾽ εἶδος πᾶσι νέοισι μέλει,*
*τῶνδ᾽ ἐπάκουσον ἐπῶν καὶ ἐμὴν χάριν ἔνθεο θυμῶι,*
*γνοὺς ἔρος ὡς χαλεπὸν γίνεται ἀνδρὶ φέρειν.*

*Κυπρογένη, παῦσόν με πόνων, σκέδασον δὲ μερίμνας*
*θυμοβόρους, στρέψον δ᾽ αὖθις ἐς εὐφροσύνας·*
*μερμήρας δ᾽ ἀπόπαυε κακάς, δὸς δ᾽ εὔφρονι θυμῶι*
*μέτρ᾽ ἥβης τελέσαντ᾽ ἔργματα σωφροσύνης.*